μαρχοϲ εἰϲ τὴ[ν προεδρίαν - - - - - - - - - -]
ΝΚΛΗ

Suppl. Koe. || supra v. 1 ἐπεμελήθη δέ. 5 fin. 6 coll. t. 1187, 18. Ki.
Cum in vico Vari Anagyrasii sedem habuerint (*American Journal of arch.* 1903, 263), nescio an v. 5 intellegendi sint Ἀναγυράϲιοι.

1211 (II 577). DECRETVM DEMI. In museo nat. Frustum marmoris caerulei opisthographum a. 0,14, l. 0,127, cr. 0,05. Litt. in latere *A*: alt. 0,004 Γ Ξ Ο Ω, in lat. *B*: alt. 0,005 Λ = Α, Ο = Θ, Γ et Π. Exscr. Koehler[1]. Habui etiam apographum Prottii. *Ect.*

A *(sinistra margo)* — fin. s. IV. ϲτοιχ.

. . ε - - - - - - -
. α ἡμέρα[ιϲ - - -
ον καὶ ὅξοϲ - - -
ιϲ ἐὰν ἐν τῶι - -
. καὶ ἐν πολέμ[ωι -
μεν[η]ι εἰϲπρά[ξει - -
ωνται οἱ δημό[ται -
ϲι φυτεύϲειϲ - - -
κεν Πυδόδωρο[ϲ -
ευκαϲ ΔΙΙΙ κα - -
αϲ ΙΙ ΙΙ καὶ τα - -

B *(dextra margo)* — s. III ut videtur. non ϲτοιχ.

- - - - - - - - ει - - -
- - - - - - - εια παρέχειν
[- - - - τ]ῶν ἱερῶν ἐλαῶν
[- - - - Ἡ]ρακλεῖ ὡϲ
[- - - - - ο]υ ἐϲ χοὰϲ
- - - - τὰ θύματα ἅπαν-
[τα - -] ἐν τῆι ἑορτεῖ.
vacat

Suppl. Koe. || *A* 5/6 ἐν τῆι γενο]μένηι εἰϲπρά[ξει. 9/10 λ]εύκαϲ Hiller has maxime Herculi convenire monens (Myth. Lex. I 2167, 7). *A* 5. 8. 10 dedi ex apographo Prottii.
B recentioris temporis est quam *A*.

1212 (II 583). DECRETVM DEMI. In vico Kara in radicibus montis Hymetti. Frustum marmoris Pentelici. Ed. Pittakis Eph. 1378, cuius exemplum repetivit Koehler[1].

fin. s. IV. ϲτοιχ. 19.

[ἐπ]αινέϲ[αι . . . . 10 . . . . .]
. . είουϲ Π[αιονίδην? καὶ]
[Ἀ]θηνοκλέ[α . . . . . 10 . . . .]
. ιον ὅτι καλ[ῶϲ καὶ φιλο]-
[τί]μωϲ ϲυνεπ[εμελήθηϲα]-
[ν τ]ῆϲ κομιδῆ[ϲ . . . . 8 . . . .]
. . . καὶ ϲτεφαν[ῶϲαι ἑκά]-
[ϲτερο]ν αὐτῶν χρυ[ϲῶι ϲτε]-
[φάνωι] ἀπὸ χιλί[ων δραχμ]-
[ῶν. ἀναγ]ράψαι δ[ὲ τὸ ψήφι]-
[ϲμα τόδε] ἐν ϲτήλ[ηι λιθί]-
[νηι τοὺϲ] ταμία[ϲ . . . 6 . . .]
. . . . 8 . . . . ϲαρχ - - - - -
. . . . . 9 . . . . ντω - - - - -

Suppl. Koe.
Iure Koehler haec ad decretum demi potius quam populi Attici pertinere statuit. Corona mille drachmarum etiam supra t. 1186 a demotis Eleusiniis decernitur. Τοὺϲ ταμίαϲ (sc. magistratus demi), qui decretum lapidi incidendum curant, habes supra in t. 1202, 20.

1213 (II 5, 636 d). DECRETVM DEMI? In vico Spata apud Kulocherem iuniorem, ubi lapidem aestate a. 1907 frustra quaesivi; periisse videtur. Fragmentum tabulae magnitudine quae manum impleat. Litt. minutae (Milchh.). Ed. litt. minusc. Milchhoefer *Ath. Mitt.* XII 1887, 87, 27 affirmans totus titulus ut exscriberetur sibi non esse concessum.

a. IV.

- - - - - - - - - -
- ϲτέφανον καὶ κόϲμον -
- τοὺϲ βωμοὺϲ καὶ ξύλα -
- ταῖϲ ἀρχούϲαιϲ - - -
- παρὰ τῶν τρικώμων - -
- ἀργυρίου 𐅃Ͱ δραχμ - -
- τὸν τρικώμαρχ[ον - -
- τὸν δῆμον - - - -

Tit. saeculo IV tribuit Milchh. V. 4 Vox τρίκωμοι eodem modo conformata est atque τετράκωμοι. cf. τετράκωμοι, οἵ εἰϲι Πειραιεῖϲ, Φαληρεῖϲ, Ξυπεταιόνεϲ, Θυμαιτάδαι Poll. IV 105, quorum commune est τὸ τετράκωμον Ἡράκλειον. Steph. Byz. s. v. Ἐχελίδαι.

1214 (II 589). DECRETVM PIRAEENSIVM IN HONOREM CALLIDAMANTIS CHOLLIDIS. In Piraeo, nunc in museo Britannico. Tabula marmoris albi integra. Litt. alt. 0,005 Γ Ν Φ. Pro Ρ aliquotiens Ι (v. 13. 23. 25), pro Α Ε saepe Λ Ϲ, pro Θ Ο, pro Υ V exstat. Ed. †Hicks *Inscr. mus. Brit.* I nr. XI. (Koehler[1]. Dittenberger 430. Michel 145.) *Ect.*

a. 300—250.
στοιχ. 32.

Διόδωροϲ Πειραιεὺϲ εἶπεν· ἐπειδὴ Καλλ-
ιδάμαϲ Καλλιμέδοντοϲ Χολλείδηϲ ἀνὴρ
ἀγαθόϲ ἐϲτιμ περί τε τὸν δῆμον τὸν Ἀθην-
αίων καὶ τὸν δῆμον τὸμ Πειραιέων καὶ πο-
εῖ ἀγαθὸν ὅτι δύναται καὶ τὴν εὔνοιαν ἐ-
νδέδεικται ἐπὶ τῶγ καιρῶν, δεδόχθαι Πε-
ιραιεῦϲιν ἐπαινέϲαι Καλλιδάμαντα κα-
ὶ ϲτεφανῶϲαι θαλλοῦ ϲτεφάνωι ἀρετῆϲ ἕ-
νεκα καὶ δικαιοϲύνηϲ τῆϲ εἰϲ τὸν δῆμον
τὸν Ἀθηναίων καὶ τὸν δῆμον τὸν Πειραιῶ-
ν καὶ ὅταν θύωϲι Πειραιεῖϲ ἐν τοῖϲ κοιν-
οῖϲ ἱεροῖϲ νέμειν καὶ Καλλιδάμαντι με-
ρίδα καθάπερ καὶ τοῖϲ ἄλλοιϲ Πειραιεῦ-
ϲιν καὶ ϲυνεϲτιᾶϲθαι Καλλιδάμαντα με-
τὰ Πειραιέων ἐν ἅπαϲι τοῖϲ ἱεροῖϲ πλὴν
εἴ που αὐτοῖϲ Πειραιεῦϲιν νόμιμόν ἐϲτ-
ιν εἰϲιέναι, ἄλλωι δὲ μή· κατανεῖμαι δὲ α-
ὐτὸν καὶ εἰϲ τριακάδα ἣν ἂν αὐτὸϲ βούλη-
ται. εἶναι δὲ αὐτῶι καὶ προεδρίαν ἐν τῶι
θεάτρωι, ὅταμ ποιῶϲι Πειραιεῖϲ τὰ Διον-
ύϲια, οὗ καὶ αὐτοῖϲ Πειραιεῦϲι κατανέμ-
εται καὶ εἰϲαγέτω αὐτὸν ὁ δήμαρχοϲ εἰϲ
τὸ θέατρον καθάπερ τοὺϲ ἱερεῖϲ καὶ τοὺ-
ϲ ἄλλουϲ οἷϲ δέδοται ἡ προεδρία παρὰ Πε-
ιραιέων· τελεῖν δὲ αὐτὸν τὰ αὐτὰ τέλη ἐν
τῶι δήμωι ἅπερ ἂγ καὶ Πειραιεῖϲ καὶ μὴ ἐ-
γλέγειμ παρ᾽ αὐτοῦ τὸν δήμαρχον τὸ ἐγκτ-
ητικόν. ἀνειπεῖν δ᾽ ἐν τῶι θεάτρωι τὸν κή-
ρυκα τραγωιδῶν τῶι ἀγῶνι ὅτι ϲτεφανοῦ-
ϲι Πειραιεῖϲ Καλλιδάμαντα Καλλιμέδο-
ντοϲ Χολλείδην ἀρετῆϲ ἕνεκα καὶ εὐνοί-
αϲ τῆϲ εἰϲ τὸν δῆμον τὸν Ἀθηναίων καὶ τὸ-
ν δῆμον τὸμ Πειραιέων, ὅπωϲ ἂν εἰδῶϲι πά-
ντεϲ ὅτι ἐπίϲτανται Πειραιεῖϲ χάριτα-
ϲ ἀξίαϲ ἀποδιδόναι τοῖϲ φιλοτιμουμέν-
οιϲ εἰϲ αὐτούϲ. ᵛ ἀναγράψαι δὲ τόδε τὸ ψή-
φιϲμα ἐν ϲτήληι λιθίνηι καὶ ϲτῆϲαι ἐν τ-
ῶι ἱερῶι τῆϲ Ἑϲτίαϲ. *vacat*

coronae

Titulum a. 300—250 incisum esse ex litteratura collegit Hicks.

V. 18 τριακάδα· In epulis sacris demotarum certas societates tricenorum hominum constitutas esse, qui una cenarent, animadvertit Dttb. cf. R. Schoell Satura philol. Sauppio oblata 1879, 175. 26 μὴ ἐγλέγειν τὸ ἐγκτητικόν· vide supra t. 1187, 16.

1215 (II 588). DECRETVM DEMI. Septentrionem versus ab urbe Athenarum in situ quem vocant Kypseli (cf. Milchhoefer *Ath. Mitt.* XIII 1888, 355 n. 682). Tabula marmoris Pentelici a. 0,23, l. 0,35, cr. 0,09. Litt. alt. 0,006 parum accurate incisae Ε Σ Ξ Π Ο Ω et Λ. Exscr. †Koehler[1]. Cf. Wilhelm *Beitr.* 188. *Ect.*

init. a. III.
στοιχ. 28.

[ἐπειδὴ ὁ δεῖνα - - - - τῶν ἱ]-
ερῶν καὶ - - - - - - - - - -
τῆϲ οἰκοδομία[ϲ - - - - - - - α]-
ἱρουμένων τῶν δημο - - - - -
καὶ τῶν κοινῶν τοῖϲ δημ[όταιϲ ἐπιμ]-
εμέληται καὶ ἐπιμελεῖται ὑπὲρ [ὧν]
ἂν αὐτὸν οἱ δημόται αἱρῶνται ἀεὶ κ-
αὶ διατελεῖ λέγων καὶ πράττων τὰ β-
έλτιϲτα ὑπέρ τε τῶν ἱερῶν καὶ τῶν ὁ-
ϲίων ἀδωροδοκήτωϲ καὶ τὰ λοιπὰ ἱε-
ρὰ ἐπαγγέλλεται ἐξοικοδομήϲειν
καὶ ἀναθήματα ἀναθήϲειν ἐν τοῖϲ ἱ-
εροῖϲ προαναλίϲκων τοῖϲ δημόται-
ϲ παρ᾽ ἑαυτοῦ ἐπὶ τεῖ ἐπαρχεῖ ἣν ἐπά-
ρχονται οἱ δημόται ἀπὸ τῆϲ ἀρχῆϲ ἕ-
καϲτοϲ ἧϲ ἂν λάχει εἰϲ τὴν οἰκοδομ-
ίαν τῶν ἱερῶν καὶ τῶν ἀναθημάτων [ὧ]-
ν ἂν ἀνατιθῶϲιν κα[ὶ] τὴν ἵδρυ[ϲιν τῶ]-
ν ἱερῶν ὑπὲρ ὑγιείαϲ αὐτῶ[ν καὶ τῆϲ]
[τοῦ δήμου] ϲωτηρ[ίαϲ - - - - -]

Suppl. †Koe.
Sacra demi eius cuius hoc decretum est calamitate aliqua publica devastata fuisse satis perspicuum esse videtur. Quae ut restituerentur statutum fuisse videtur ut, qui demotae ad munus aliquod publicum promoti essent, stipem aliquam conferrent. Hunc enim esse significatum verborum ἐπαρχὴν ἐπάρχεσθαι ἀπὸ τῆς ἀρχῆς optime demonstravit Eustratiades Ἐπιγρ. ἀνέκδ. φυλλ. 3 Ἀθ. 1855 p. 19. cf. nunc etiam Wilhelm. Calamitas illa quaenam fuerit, definire non audeo, cum praesertim de aetate tituli plane non constet; probabiliter tamen cogitari posse videtur de malis belli quibus Attica exeunte saeculo quarto et ineunte saeculo tertio obnoxia fuit [Koe.]. Litterarum formae tales sunt, ut titulus initio s. III antiquior haberi non possit.

1216 (II 590). DECRETVM DEMI. In museo nat. Fragmenta duo marmoris Pentelici. Fr. *a* a. 0,19, l. 0,09, cr. 0,065. Fr. *b* a. 0,12, l. 0,10, cr. 0,063. Litt. alt. 0,006 Λ = Α Ο = Θ Π V. Exscr. Koehler[1]. *Ect.*

s. III. στοιχ.

a
. . .⁶. . . – – – – – – – – –
. .⁵. . ισ – – – – – – – –
. .⁵. . ιο – – – – – – – –
. . . . ιλγ – – – – – – – –
. . . . λτο – – – – – – – –
[. ἐ]ὰν δὲ μ[ὴ – – – – – –]
τὸν εὔθυ[νον – – – – – –]
ν ἂμ μὴ κα[– – – – – – εἰ]-
ς τὸ κοιν[ὸν – – – – – –]
ο εὔθυνο – – – – – – – –
τευσυμ – – – – – – – –
μηνὸς – – – – – – – –
ἀναπο – – – – – – – –
θην – – – – – – – –
ρο – – – – – – – – –
τ – – – – – – – – – –

b
ἀργ]υριο –
– θ]υσία –
– αι ἀπο –
– ουσι – –
– ι αὐτο –
– ς δὲ π –
– ν ἐσστή[λῃ?
– ημονα – –
– ριῳ – –
– – – – –

Suppl. Koe.

1217 DECRETVM RHAMNVSIORVM. Rhamnunte, nunc in museo nat. Fragmentum tabulae marmoris Pentelici a. 0,27, l. 0,165, cr. 0,06. Litt. alt. 0,006 volg. init. s. III. Exscr. Lattermann. *Ect.*

non στοιχ. 40—46

a. 262/1.

[Κλ]εοχάρης Τεισωνίδ[ου Ῥαμνούσιος εἶπεν· ἐπειδὴ]
[Κλ]εοχάρης Κλεοδωρίδ[ου Ῥαμνούσιος αἱρεθεὶς ὑπὸ τῶν]
δημοτῶν ἐπὶ Ἀντιπάτ[ρου ἄρχοντος – – – διέδωκε]
τῶν τε καρπῶν τὰ μέρ[η τὰ ἐπιβάλλοντα? – – – –]
γένωνται, ἀπεδείξ[ατο δὲ τὴν ἑαυτοῦ εὔνοιαν ἀπροφασίστ]-
ως, ἐκομίσατο δὲ καὶ [– – – – – – – – τοῖς ἐν]
τῶι Πειραιεῖ τεταγ[μένοις – – – – – – – – – –]
δημοτῶν ὃν ἔλα[βε – – – – – – – – – – – φυ]-
γάσιν καὶ τοῖς ἥ[κουσιν? – – – – – – – – – –]
τει καλῶς καὶ – – – – – – – – – – – – – –
.υς· τύχει ἀγα[θεῖ δεδόχθαι τοῖς δημόταις – – – –]

Suppl. Ki.
Pertinent haec ad Antipatri archontis annum (262/1), quo Athenae ab Antigono Gonata captae sunt; Kolbe *Att. Arch.* 44.

1218 DECRETVM ELEVSINIORVM. Eleusine, nunc in museo Eleusinio (catal. nr. 367). Fragmentum tabulae marmoris albi integrum tantum a dextra a. 0,23, l. 0,145, cr. 0,09. Litt. alt. 0,005 parum accurate incisae Α Λ Λ. Exscr. Kirchner. Habui etiam apographum, quod transmisit Skias. *Ect.*

med. s. III. στοιχ.

. . .⁷. . . .ως ἀπὸ ο.
. . . . ὑπ]ὲρ προσγ.
. .⁵. . κ]ριταὶ κα.
. .⁵. . των τοὺς π.
. . . . ταῦτα *vvvvv*
. . . γ]ράψας ὁ δᾶμ[ος
. . . . νην κατὰ Πει
. . . . κωοις μὲν τὸ

...Κ̣ΑC ΧΩΡÌC ΔΕΟ̣
...CΦÍCIN ΑΫ́ΤΟΙ
...C Δ᾽ ÂΝ ΜῊ ἈΠΟΓΡ-
.. ÉΝ ΤΑΫ́ΤΗΙ ΤΗ͂Ι Η-
..ΩΙ ΤΩ͂Ν ΔΗΜΟΤΩ͂Ν
.Γ?]ΥΝῊ : Δ : ΔΡΑΧΜÁC *v*
.. ΤÓΠΩΙ ὋΤΩΙ ÂΝ Є-
..ΔΙΠΛÁCΙΟΝ ΑΫ́Τ-
Τ]Ω͂Ν ΔΗΜΟΤΩ͂Ν ΤΟỲC
.ΙΝ ÉΝ ΤΩ͂Ι ΔΉΜΩΙ Є-
Ρ]Ά̣ΥΩΝΤ[Α]Ι ΤЄ[Ι͂...
- - - Τ...6...

V. 19 ἈΠΟΓΡ]Ά̣ΥΩΝΤ[Α]Ι ut videtur.
Argumentum tituli obscurum.

1219 DECRETVM ELEVSINIORVM. Eleusine, nunc in museo Eleusinio (catal. nr. 324). Fragmentum marmoris Pentelici a. 0,15, l. 0,15, cr. 0,10. Litt. alt. 0,005 ᑕ pro Ε Ο. Exscr. Kirchner. Habui etiam apographum, quod transmisit Skias. *Ect.*

med. s. III. ΣΤΟΙΧ. 35.

....9....Α- - - - - - - - - - - - -
....8....ΕΤΕ- - - - - - - - - - - - -
....8....ΚΟΥ Ι/// - - - - - - - - - - -
....8....Ι ΔÈ ΚΑ[Ì - - - - - - - - - -]
[...6... Δ]ΎΝΗΤΑΙ Α- - - - - - - - - - -
[ΚΑΤΕCΚΕ]ΎΑΚΕΝ ΔÈ Є Ι/// - - - - - - - -
[..5.. ΤΟ]Ŷ ΧΩΡÍΟΥ ΚΗ̣- - - - - - - -
...6...ΡΙΟΝ ἈΝÁΛΩ[ΜΑ- - - - - - - - - - -]
[ὍΠΩC ÂΝ] ΟΫ͂Ν ΕἸΔΩ͂C[Ι ΠÁΝΤΕC ὋΤΙ ΟἹ Ἐλευcίνιο]-
[Ι ΤΟÎC É]ΠÌ ΤΑΎΤΗΝ [ΤῊΝ ἈΡΧῊΝ ΚΕΧΕΙΡΟΤΟΝΗΜÉ]-
[ΝΟΙC ἈΠ]ΟΔΙΔÓΑCΙ [ΤÀC ἈΞÍΑC ΧÁΡΙΤΑC ΚΑÌ ΟἹ Κ]-
[ΑΤΟΙΚ]ΟΫ͂ΝΤΕC Ἐλε[ΥCÎΝΙ - - - - - - - -]
....C ἙΑΥΤΟỲC - - - - - - - - - - - -

Suppl. 6 in. 9 in. 11 in. Skias. || reliqua Ki.

1220 DECRETVM ELEVSINIORVM? Eleusine, nunc in museo Eleusinio (catal. nr. 346). Fragmentum marmoris albi integrum a dextra a. 0,085, l. 0,14, cr. 0,07. Litt. alt. 0,005 Α Ε Π Σ Τ. Ed. Skias Ἐφ. 1896, 36 nr. 21. *Ect.*

c. 200—150. non ΣΤΟΙΧ.

[- - - - - - - - - ἘΠΕΜΕ]ΛΉΘΗ ΚΑ[Ì]
- - - - - - - - - - ΚΑÌ ΚΡΉΝΗΝ É[Κ ΤΩ͂Ν]
[ἸΔÍΩΝ ÉΞΩΙΚΟΔÓΜΗΚΕΝ, ΚΑΤΑ]CΤΑΘΕÌC ΔÈ ΚΑÌ ΤΑ-
[ΜÍΑC - - - ΕἸC ΤÒΝ] ÉΝΙΑΥΤÒΝ ΤÒΝ ÉΠÌ
[- - - ἌΡΧΟΝΤΟC - - Μ]ΕΡÍΖΕΙ ΤΑÎC ΤΕ ΛΟΙ-
[ΠΑÎC - - - ἈΝÁΛΩΜ]Α ΤÒ ΓΙΝÓΜΕΝΟΝ *vacat*
[- - - - - - - ΠΡΟ]CΤΑΤΤΟ....ΙΝΟ

Suppl. Skias. || 3 ÉΞΩΙΚΟΔÓΜΗΚΕΝ. 5 ΜΕΡÍΖΕΙ Ki.

1221 Eleusine, nunc in museo Eleusinio (catal. nr. 335). Tabula marmoris albi aetomate superata supra integra a. 0,21, l. 0,25, cr. 0,36. Litt. alt. 0,005 Α Π Σ Ω. Exscr. Kirchner. Habui etiam apographum, quod transmisit Skias. *Ect.*

c. 200. non ΣΤΟΙΧ.

- - - Ξε[ΝΟ]ΦΩ͂Ν[Τ]ΟC ΒΕΡΕΝΙΚÍΔΗC ΕἾΠΕ· -
- - - - -Τ- - - - - ΕΝ..6..Η ÉΠÌ ΤΗ-
- - - - - - - - - - - - -ΝΗ̣C ΤΩ͂Ν ΠΟΛΙΤΩ͂Ν
- - - - - -ΛΙ- - - - - - - - -ΑΝ
[- - ΚΑΤΕCΚΕΎ]ΑΚΕΝ ÉΝ ΤΟÎC ἜΤΕCΙΝ ΤΟΎΤΟΙ[C
[- - - - - - - ΔΙ]ΑΤΕΤÉΛΕΚΕΝ ΠΡÁΤΤΩ[Ν -
[- - - ΠΑΡΕCΚ]ΕΎΑCΕΝ ἙΑΥΤÒΝ Χ[ΡΉCΙΜΟΝ -
[- - - - - ἈCΤ]ΥΝΟΜΩ͂Ν ΤÀ ΔÉΚΑ - - - -
- - - - - - - ΠΡÁΤΤΕΙΝ ἈΠΟ- - - - -

Suppl. 8 ἈCΤΥΝΟΥΜΩ͂Ν Skias. || reliqua Ki. V. 4 de industria videtur deletus esse.

V. 1 Ξεν. Βερεν. memoratur in t. Eleusinio 1304, 52 sub fin. s. III; itaque decretum eidem fere tempori tribuendum est. Videtur tit. supra positus Eleusine inventus ad res Eleusiniorum pertinere.

SECTIO TERTIA.

DECRETA CLERVCHORVM.

1222 (II 591). DECRETVM CLERVCHORVM ATTICORVM HEPHAESTIAM VRBEM INSVLAE LEMNI INCOLENTIVM. In arce (nr. lap. 1006), nunc in museo nat. Tabula marmoris Hymettii a. 0,21, l. 0,178, cr. 0,083. Litt. alt. 0,005 Γ Φ et ϕ ο Ω. Exscr. † Koehler[1]. *Ect.*

fin. s. IV. non στοιχ.

[- - ϲωτ]ηρίαι -
[- - Ἀθην]αίων τῶν ἐν [Ἡφαιϲτίαι κατοικούντων - - - - - - - - -]
[- - ἀναγ]ράψαι δὲ τόδ[ε τὸ ψήφιϲμα - - - - - - - - - - -]
[ἐν ϲτήλ]αιϲ δυϲὶ καὶ ϲτ[ῆϲαι τὴν μὲν Ἀθήνηϲι - - - - - - - -]
[τὴν ἄλ]λην δ' ἐν Ἡφαιϲτία[ι ἐν - - - - - - - - - - - - - -]
- -, ὅπωϲ ἂν ἅπαϲιν φανερὸ[ϲ ἧι ὁ δῆμοϲ ὁ Ἀθηναίων τῶν ἐν Ἡφαι]-
[ϲτίαι εὐϲεβῶν τὰ πρὸϲ τοὺϲ [θεοὺϲ - - - - - - - τὸ δὲ ἀνάλ]-
[ωμα τὸ γ]ενόμενον ε[ἰϲ] τὴν ἀναγ[ραφὴν - - - - - - - - - - -]
[- καὶ τὴ]ν ποίηϲιν μερίϲαι τὸν [ταμίαν - - - - - - - - - - -]
- - - των Πολύφιλον καὶ λογί[ϲαϲθαι - - - - - - - - - -]
[- ἐπαινέϲ]αι δὲ καὶ τοὺϲ πρέϲβε[ιϲ - - - - - - - - - - - - -]
[- - - τ]ούτων φιλοτιμίαϲ κ[αὶ - - - - - - - - - - - - -]
[- - - εἰϲ] τοὺϲ θεούϲ· Χρεμ - - - - - - - - - - - - - -
- - - - ν : Φιλόνεω Φι[λ - - - - - - - - - - - - - - -]

Suppl. Koe. Idem ad ultimos annos s. IV revocavit titulum. Ad v. 10 Koe. conferri iubet decretum cleruchorum qui Imbrum incolebant eiusdem temporis IG XII 8, 51: [τ]ὸν δὲ ταμίαν μερίϲαι τὸ γενόμενον ἀνάλωμα εἰϲ τὴν ϲτήλην καὶ λογίϲαϲθαι τῶι ἱερῶι. Imbrum inde ab a. 318—307 ab Antigoni partibus stetisse et a. 307 in Atheniensium potestatem rediisse tradit Diod. XX 46, 4. cf. IG XII 8 p. 3.

1223 (II 592). DECRETVM CLERVCHORVM HEPHAESTIAM INCOLENTIVM IN HONOREM EPICLIS ACHARNENSIS. In museo nat. Fragmenta duo marmoris Pentelici, quae copulavit Koehler[1]. Fr. *a* a. 0,30, l. 0,265, cr. 0,154. Exscr. Koehler[1]. Fr. *b* a. 0,25, l. 0,35. Ed. Pittakis *L'anc. Athènes* p. 515, cuius exemplum exhibet Koehler[1]. Tit. denuo inventum ed. Mylonas Ἐφ. 1903, 67. Litt. alt. 0,008 Α Σ Π Φ. (Michel 1510.) Cf. Schebelew *Klio* II 1902, 43. *Ect.*

post a. 167. non στοιχ.

[- - - - - - - - - - - - - ἐπαινέϲαι Ἐπ]ικλῆν [Καλλ?]ίου Ἀχαρνέα *b*
[καὶ ϲτεφανῶϲαι αὐτὸν χρυϲῶι ϲτεφάνωι κ]ατὰ τὸν νόμον ἀρετῆϲ ἕνεκεν καὶ εὐ-
[νοίαϲ ἧϲ ἔχων διατελεῖ πρὸϲ τὸν δ]ῆμον τὸν Ἀθηναίων καὶ πρὸϲ τοὺϲ ἐν Ἡ-
[φαιϲτίαι οἰκοῦνταϲ· ϲτῆϲαι δὲ αὐτ]οῦ καὶ εἰκόνα χαλκῆν ἐν Ἀθήναιϲ ὅπου ἂν δο-
[κεῖ εὔϲχημον εἶναι· ἀνειπεῖν δὲ τὸν ϲ]τέφανον τοῦτον καὶ τὴν τῆϲ εἰκόνοϲ ἀνάθε-
a [ϲιν ἐν μὲν] Ἀθή[ναιϲ Διονυϲίων τ]ε τῶν μεγά[λω]ν τραγωιδῶν τῶι καινῶι ἀγῶνι
[κ]αὶ Παναθη[ναίων καὶ Ἐλευϲινίων] τοῖϲ γυμνικοῖϲ ἀγῶϲιν κα[ὶ] εἰϲ τοὺϲ λοιποὺϲ εἰϲ
[ο]ὓϲ ἡ πόλ[ιϲ - - - - -, ἐν] δὲ Ἡφαιϲτ[ία]ι Διονυϲίων τραγωιδῶν τῶι ἀγῶνι
καὶ ἐν το[ῖϲ ἄ]λλοιϲ [ἀγῶϲιν οὓϲ ἡ πόλ]ιϲ τίθηϲιν. τῆϲ δὲ ἀναγορεύϲεωϲ ἐπιμελεῖϲ-
θαι ἐν ἄϲτει μὲν τ[οὺϲ ϲτρατηγοὺ]ϲ καὶ τοὺϲ [ἀ]εὶ πεμπομένουϲ θεωρούϲ, ἐ[ν]
Ἡφαιϲτίαι δὲ τὸν ἀ[εὶ χειροτονούμε]νον ἀγωνοθέτην καὶ τὸν κήρυκα τοῦ [δή]-
μου· εἶναι δὲ αὐτῶ[ι καὶ ϲίτηϲιν] ἐμ πρυτανείωι καὶ προεδρίαν ἐν τοῖϲ [ἀγῶ]-
ϲιν οἷϲ ὁ δῆμοϲ ὁ ἐ[ν Ἡφαιϲτίαι ϲ]υντελεῖ καὶ πρόϲοδον πρὸϲ τὴν β[ου]-
λὴν καὶ τὸν δῆμον [πρώ]τ[ωι μετὰ τ]ὰ ἱερὰ καὶ ἄλλο ἀγαθὸν εὑρέϲθαι ὅτου [ἂν δο]-
κεῖ ἄξιοϲ εἶναι· ἵνα δὲ καὶ ὑ[πόμνη]μα ὑπάρχει τῆϲ τε Ἐπικλέουϲ καλοκαγα[θί]-
α[ϲ] καὶ τῆϲ τοῦ δήμου εὐχ[αριϲτίαϲ], τὸν γραμματέα τοῦ δήμου ἀναγράψαι τό[δε]
τὸ ψήφιϲμα εἰϲ ϲτήλην λιθ[ίνην κ]αὶ ϲτῆϲαι παρὰ τὴν εἰκόνα, εἰϲ δὲ τὴν ἀνα[γρα]-
φὴν καὶ τὴν ἀνάθεϲιν τῆϲ [ϲτήλ]ηϲ μερίϲαι τὸν ταμίαν τῶν ϲ[τρ]ατιωτι[κῶν]
[Κ]αλλίϲτρατον Ἁλαιέα καὶ ἀ[πενεγ]κεῖν ἐν τῶι λόγωι· χειροτονῆϲαι δ[ὲ τὸν]

[δ]ῆμον ἤδη πέντε ἄνδρα[ϲ ἐξ Ἀθ]ηναίων ἁπάντων οἵτινεϲ [ἀφικό]-
μενοι εἰϲ Ἀθήναϲ καὶ ἐπελ[θόντεϲ ἐ]πὶ τ[ὴν] βουλ[ὴν] κα[ὶ τὸν δῆμον]
ἀξιώϲουϲιν ἐπιχωρῆϲαι κυρί[αϲ εἶναι τὰϲ δωρεάϲ. Οἵδε κεχειροτόνηνται κατὰ τὸ]
ψήφιϲμα· Φιλωνίδηϲ Ἀραφή[νιοϲ, - - - - - -, - - - - - - -, - - - Ἀφι]-
δναῖοϲ, Ἀρχίαϲ Θοραιεύϲ.

Versus prorsus inaequalis longitudinis sunt (50—65 litt.). Suppl. Koe. || l. 3 in. 22 fin. Myl. || 5 in. (ἐπιτήδειον Myl.). ll. 19 ἀπενεγκεῖν coll. Dem. XLIX 16 δραχμὰϲ ἐν τῶι λόγωι ἀπενεγκεῖν (ἀνενεγκεῖν Myl.). 22 κυρίαϲ εἶναι τὰϲ δ. Ki. Titulum c. a. 220 exaratum esse censet Koe. Sed recte Schebelew monet nihil impedire quominus eum ad tempora post a. 167 revocemus, ut aetate suppar sit titulo insequenti. Tempori 166—146 vindicat Ferguson *Hellenist. Ath.* 320, 1. Epicles Acharn. non ex cleruchis fuisse videtur.

1224 (Fr. *d* = II 494, fr. *e* = II 424, fr. *a* + *b* = II 593, fr. *c* = II Add. 593 p. 422). DECRETVM CLERVCHORVM ATTICORVM MYRINAM VRBEM INSVLAE LEMNI INCOLENTIVM. Fr. *c* inter theatra Bacchi et Herodis, reliqua in arce; nunc fr. *b* in museo Britannico, reliqua in museo nat. Fragmenta quinque marmoris Pentelici, quorum *a* et *b* coniunxit Kirchhoff *Herm.* I 1866, 217 sqq., *c* addidit Koehler, *d* et *e* Wilhelm in schedis. Fr. *d* (nr. lap. 958) aetomate ornatum a. 0,29, l. 0,30, cr. 0,53. Exscr. †Velsen. Fr. *e* (nr. lap. 1213) a. 0,17, l. 0,26, cr. 0,065. Exscr. †Koehler[1]. Fr. *a* (nr. lap. 1215) a. 0,23, l. 0,274, cr. 0,053. Exscr. †Velsen, contulit Koehler. Fr. *b*. Exscr. Hicks *Inscr. mus. Brit.* I nr. XXII. Fr. *c* versuum septem ultimorum partem dextram continens a. 0,17, l. 0,27, cr. 0,072. Litt. alt. 0,006 Α et Α Ξ Π Ο Ο. *Ect.*

c. a. 166. *d* [Ἐπὶ - - - ἄρχοντοϲ ἐπὶ τ]ῆϲ Αἰαντίδοϲ δεκάτηϲ πρ[υτανείαϲ - - -] non ϲτοιχ. 60–73.
[- - - - - - - - - - - - - - ἐκκλ]ηϲία ἐν τῶι θε[άτρωι - - - -]
- - - - - - - - - - - - - - - - - γαθο...ομο - - - - - - -
- - - - - - - - - - - - - - - - - - υτ..⁵...ο - - - - - - - -
- - - - - - - - - - - - - - - - - - εϲ - - - - - - - - - -
- -

e - - - - - - - - τηϲ -
[- - - - ἀψ]ευδεῖϲ καὶ - - - - - - - - - - - - - - - - -
- - - - - - δὲ καὶ τῆϲ διαπο - - - - - - - - - - - - - - - -
[- - - ὁ] δῆμοϲ ὁ Ἀθηναίω[ν - - - - - - - - - - - - - - -]
- - - - ν μὲν ὑπέμεινεν χρη - - - - - - - - - - - - - - -
[πο]λιτῶν ἕνεκεν τοῦ μὴ περιιδε[ῖν - - - - - - - - - - - - - -]
ραττομένων ἀποϲτείλαϲ βοηθε[ι - - - - - - - - - - - - - - -]
δυνατὴν ἀϲφάλειαν αὐτοῖϲ πεμ - - - - - - - - - - - - - - -
τοὺϲ κοινοὺϲ εὐεργέταϲ ἁπάντων [Ῥωμαίουϲ - - - - - - - - - ϲυμ]-
μαχίαν καὶ καταϲτὰϲ πρὸϲ τοὺϲ ἀδι[κοῦνταϲ - - - - - - - - - -]
καὶ διδάξαϲ τὴν ϲύγκλητον ὡϲ ἦϲαν ε̣ - - - - - - - - - - - - -
τὰϲ διὰ τοῦ γενομένου δόγματοϲ ὑπὸ τ[ῆϲ ϲυγκλήτου - - - - - - -]
[Γ]αΐου [Λ]αιλίου, ὑπὲρ ὧν ἐπιγνόν[[ον]]τεϲ - - - - - - - - - - - -
..ν [τὴν γε]νομένην εὐημερίαν το - - - - - - - - - - - - - -
[....c.10.... εὐ]αγγελίων θυϲία - - - - - - - - - - - - - - -
[- - - - - - π̣ι̣α̣ καθὰ - - - - - - - - - - - - - - - - -
- -

[- - - - - - - - - - - - - - - - - - τῆϲ δὲ] ἀναγορεύϲε[ωϲ ἐπι]- *b*
[μεληθῆναι ἐμ μὲν Μυρίνει - - -, Ἀθήνηϲι δὲ τοὺϲ ϲτ]ρατηγούϲ· πέμψ[αι δὲ]
[εἰϲ Ἀθήναϲ τὸν ϲτέφανον καὶ - - - - - - - - ὁλ]όχρυϲον πεντήκοντα
[- - - - - - - - - - - - ὅπωϲ ἂν ἀΐδι]ον ὑπάρχει παρὰ τεῖ θεῶι ὑπόμνημα
[τῆϲ τῶν οἰκούντων ἐμ Μυρίνει ὑπαρχούϲ]ηϲ πρὸϲ τὸν δῆμον εὐνοίαϲ, καὶ ποιήϲαϲθα-
[ι τὴν ἐπιγραφὴν τήνδε· ὁ δῆμοϲ ὁ Ἀθ]ηναίων τῶν ἐμ Μυρίνηι χαριϲτήριον τεῖ
[Ἀθηνᾶι τεῖ ἀρχηγέτιδι καὶ ϲωτείραι τ]ῆϲ πόλεωϲ ὑπὲρ τῆϲ γεγονείαϲ ἐπὶ τῆϲ Ῥωμαίω-
[ν ϲυγκλήτου βεβαιώϲεωϲ τῶν πρότερο]ν ὑπαρχουϲῶν νήϲων τῶι δήμωι τῶι Ἀθηναίων
[Ἀθήνηϲι ϲτρατηγοῦντοϲ ἐπὶ τοὺ]ϲ ὁπλίταϲ τὸ δεύτερον Ἡρακλείτου τοῦ Ποϲειδίππου
a - - -, ἐπὶ δὲ Λῆμνον ϲτρ[ατηγ]οῦντοϲ Φιλαρχίδου Παιανιέωϲ, ἱππαρχοῦντοϲ τὸ δεύ-
[τερον Τ]ελεϲιδήμου τοῦ Ἀμι[ν]ίου Ἑκαλῆθεν. χειροτονῆϲαι δὲ τὸν δῆμον ἤδη πρέϲβε[ιϲ]
[πέντ]ε ἄνδραϲ ἐξ Ἀθηναίων ἁ[π]άντων, οἵτινεϲ ἀφικόμενοι εἰϲ Ἀθήναϲ καὶ ἀπο[δόντεϲ]

[τόδε] τὸ [ψ]ήφισμα πρῶτομ μὲ[ν] θύσουσιν τεῖ Ἀθηνᾶι καὶ καλλιερήσαντ[ες ὑπὲρ τῆς τ]-
[οῦ δή]μου τοῦ Ἀθηναίων εὐδ[ο]ξίας τε καὶ σ[ω]τηρίας καὶ τῆς τῶν φίλ[ων καὶ συμμάχων]
[τῶ]ν αὐτοῦ, ὁμοίως δὲ καὶ τῶν ἐμ Μυρίνει πολιτῶν, [ἀ]ναθέντες δὲ κα[ὶ τ - - - καὶ τὸν]
[στ]έφανον μετὰ τῆς προειρημέ[ν]ης ἐπιγραφῆς ὑπογράψαντες κα[ὶ τὰ ὀνόματα τῶν Ἀθήνη]-
[σιν] καὶ τῶν ἐμ Μυρίνει στρατ[η]γῶν ποιήσονται τὴν πρόσοδον ἐ[ν ἱεροῖς πρός τε τὴν]
[βουλὴν] καὶ τὸν δῆμον καὶ ἀσπασ[ά]μενοι αὐτοὺς συνχαρήσοντα[ι ἐπὶ τῶι νενικηκέναι τὸ]
[γενόμεν]ον κρῖμα καὶ τέλος αὐτοῖ[ς] εἰληφέναι τὰς ὑπὲρ τῶν νήσω[ν - - - - - -]
[.. c. 8 .. τὰς] πρ[οτέρ]ας, παρακαλέσ[ο]υσιν δὲ τὸν δῆμον τὴν ἐνδεχ[ομένην - - - -]
.... c. 15 ...... τῶν οἰκούντω[ν] ἐμ Μυρίνει· ἵνα δὲ καὶ ὑπόμνη[μα ὑπάρχει τῆς τῶν ἐμ]
[Μυρίνει οἰκούντων] πολιτῶν εἰ[ς] τὸν δῆμον τὸν Ἀθηναίων εὐχ[αριστίας καὶ φιλοτιμί]-
[ας, ἀναγράψαι τό]δε τὸ ψήφισμα [ε]ἰς στήλας λιθίνας διττὰς [καὶ στῆσ]αι τὴμ μὲ[ν μίαν] c
[Ἀθήνησιν ἐν] ἀκροπόλει, τὴν [δὲ] ἑτέραν ἐμ Μυρίνει ἐ[ν τῶι ἱερῶι] τῆς Ἀρτέμιδο[ς]
...... c. 12 .....ει... δὲ τῶν εἰς τὸν [στέφα]νον καὶ τὴν θυ[σίαν καὶ τ]ὴν χ.. 5 ..ον καὶ π...ειο..
[...... c. 12 .... τ]ῶν πρεσβευτῶν καὶ [τῆς ἀναγ]ραφῆς κ[αὶ ἀναστ]άσεως [τῶν] στηλῶν προνο[η]-
[θῆναι τ]ὴν [βουλὴν κ]αὶ τοὺς στρατηγο[ύς. οἵδε] κεχειροτόνηνται πρέσβεις *vacat*
[.... c. 10 ....ο]υ Φρεάρριος, Φαιδρία[ς - - -]ς Ἀμαξαντεύς, Ἀπα[τ]ούριος Φι[λίπ]-
[π]ου Μ[αρα]θ[ώ]ν[ι]ος, Μνησικλῆς Μνησ- - -εύς, Δημήτριος Διο[ν]υ[σί]ου Φρεά[ρ]ρι[ος].

vacat 0,045

[Ὁ δῆμ]ος
[ὁ Ἀθηναί]ων
[τῶν ἐμ Μυρί]νη[ι].

Suppl. *d* et *e* Koe., *a* + *b* + *c* idem Kirchhoffium secutus. || 30—32 Ki.
Decretum Kirchhoff l. c. 227 paullo post finem belli Macedonici alterius exaratum esse censet (cf. Polyb. XXX 18), cui adstipulatur Koehler; cf. Ferguson *Hellenist. Ath.* 323, 1.

1225 (II 5, 591 b). DECRETVM CLERVCHORVM SALAMINIORVM IN HONOREM HERACLITI ATHMONENSIS. In vico Ambelaki insulae Salaminis, nunc in vico Kuluri eiusdem insulae, ubi in dimarchio asservatur. Tabula marmoris albi aetomate ornata ab inferiore parte fracta a. 0,35, l. 0,45. Litt. alt. 0,005 Ρ Σ Ξ Ο Ω. Ed. Monceaux *Bull. Hell.* VI 1882, 525. Ex Lollingii apographo Koehler[1]. (Dittenberger 220. Michel 158.) Cf. Horner *Quaest. Salamin.* 1901, 21. Sokolow *Klio* III 1903, 125. 126. *Ect.*

c. a. 250. Χαιρέδημος Ἐπιχαρίνου Κολωνῆθεν εἶπεν· ἐπειδὴ Ἡρά- non στοιχ.
κλειτος Ἀσκληπιάδου Ἀθμονεὺς πρότερόν τε παρὰ τῶι βα- 45–52.
σιλεῖ Ἀντιγ̣όνωι τεταγμένος διετέλει λέγων καὶ πράττ-
ων ὑπὲρ τοῦ δήμου τοῦ Σαλαμινίων ὅσα ὑπελάμβανεν συμ-
φέρειν καὶ τοῖς ἰδίαι Σαλαμινίων ἀφικνουμένοις πρὸς τὸν
βασιλέα συμφιλοτιμούμενο⟨ι⟩ς εἰς τὸ μηθενὸς τῶν δυνατῶ-
[ν] ἀπράκτους γενομένους ἀπιέναι, καὶ νῦν καθεστηκὼς ὑπὸ τ-
[ο]ῦ βασιλέως στρατηγὸς ἐπὶ τοῦ Πε(ι)ραιέως καὶ τῶν ἄλλων τῶν
ταττομένων μετὰ τοῦ Πειραιέως διατελεῖ πολλὴν πρόνοιαν
ποιούμενος ὅπως ἂν μηθὲν ἀδίκημα γίνηται κατὰ τὴν χώρ-
[α]ν, καὶ τῶν τειχῶν τῶν ἐν τῆι νήσωι πεπτωκότων συνεπεμε-
[λ]ήθη ὅπως ἀνοικοδομηθεῖ, καὶ πολέμου γενομένου τοῦ περὶ Ἀ-
λέξανδρον καὶ πειρατικῶν ἐκπλεόντων ἐκ τοῦ Ἐπιλιμνίου
τὴν πᾶσαν πρόνοιαν ἐποεῖτο τοῦ μηθὲν βλαβερὸν γίνεσθαι π-
ερὶ τὴν χώραν, ἀκολούθως τὴν τούτων ἐπιμέλειαν ποιούμεν-
ος τῆι τοῦ βασιλέως πρὸς τὸν δῆμον αἱρέσει· ἔτι δὲ καὶ σώματ-
ος ἁρπ[ασ]θέντος ἐκ τῆς νήσου καὶ ἐξαχθέντος εἰς τοὺς ὑπεναντ-
[ίου]ς ἀντέ[λυ]σεν καὶ τοὺς ἀδικήσαντας ἐκόλασεν φανερ[ὸ]ν ποιῶν
[ὅτι οὐ]κ ἐπιτρέψει τοῖς ἀδικοῦσιν τὰ ἐν τῆι πόλει καὶ τὰ ἐν τῆι χώ-
[ραι, π]αρέχεται δὲ καὶ κοινῆι καὶ ἰδίαι χρείαν τῶι βουλομένωι Σαλ-
[αμι]ν[ίων κ]αὶ τἆλλα πράττων διατελεῖ τὰ συμφέροντα Σαλαμινί-
[οις καὶ ἰδία]ι κα[ὶ] κοινεῖ· ἀγαθεῖ τύχει, δεδόχθαι τῶι δήμωι τῶι Σα[λ]-
[αμινίων ἐπαινέσ]α[ι] Ἡρά[κλει]τον Ἀσκ[λη]π[ιά]δου Ἀθ[μ]ονέ[α - - -]

Suppl. Monc. || 18 in. ἀντέλυϲεν Sokolow. Idem suppl. Ki. a. 1907 ante lapidem ignorans Sokolovium ipsum occupavisse (ἀπέδωκεν Monceaux). V. 3 ΑΝΤΙΓΩΝΩΙ V. 1 Ἡράκλειτοϲ Ἀ. Κ. Manifesto post bellum Chremonideum ab Antigono Gonata praesidiis Piraei et castellorum terrae Atticae praepositus est. Vel sub Macedonum dominatione (a. 312—229, Sokolow 125) res Salaminiorum non commutatas esse apparet; Horner 22. Ad eundem pertinet t. 677; cf. Ferguson *Hellenist. Ath.* 192. 193. 12 πολέμου γενομένου τοῦ περὶ Ἀλέξανδρον· Alexander Crateri filius, ab Antigono Gonata patruo copiis Corinthiis praefectus, cum ab Antigono defecisset et bellum inter utrumque exortum esset, Atticam infestatam esse consentaneum est; cf. de bello ab Atheniensibus et Argivis contra Alexandrum gesto (c. a. 352, Beloch *Gr. Gesch.* III 2, 439) supra t. 774 [Koe.]. 13 Ἐπιλιμνίου· Videtur portus esse sinus Saronici; Sokolow.

1226 (II 5, 591 c). DECRETVM CLERVCHORVM SALAMINIORVM. Athenis; fuit penes comitem de Mouy. Ed. Foucart *Bull. Hell.* X 1886, 451. Cf. Horner *Quaest. Salamin.* 1901, 22.

s. III. — ϲτοιχ.

....8....αι ἀξίωϲ τῶν - - - - - - - - -
....8.... ἀγορᾶι τε κα[ὶ - - - - - - - -]
...7...ον καὶ ἐπιμε[λ- - - - - - - - - -]
[μεδίμν]ουϲ ἑξακοσί[ουϲ - - - - - - - -]
...6... τοὺϲ ϲτατῆ[ρ- - - - - - - - - -]
[.. ἐπαι]νέϲαι δὲ Χρ- - - - - - - - - - -
[δήμου] τοῦ Σαλαμιν[ίων - - - - - - - -]
[.... ϲτεφα]νῶ[ϲα]ι χ[ρυϲῶι ϲτεφάνωι - - - -]

Suppl. 4 Hiller. De tempore tituli non constat.

1227 (II 594). DECRETVM CLERVCHORVM SALAMINIORVM. In ecclesia principali vici Kuluri in insula Salamine vidit L. B. de Stackelberg, nunc Athenis in museo nat. Tabula marmoris Pentelici a. 0,90, l. 0,385, cr. 0,103. Litt. alt. 0,006 Α Ε et Σ Ρ Κ Ξ. Exscr. † Koehler[1]. (Michel 159.) *Ect.*

a. 131/0. — non ϲτοιχ. 37—49. (vide infra.)

Ἐπὶ Ἐπικλέουϲ ἄρχοντοϲ ἐν ἄϲτει, ἐν Σαλαμῖνι δὲ Ἀνδρονίκ[ου]·
Μεταγειτνιῶνοϲ τετράδι μετ' εἰκάδαϲ *vv* Θεογένηϲ Κ[α]λλι-
μάχου Λευκονοεὺϲ εἶπεν· *vv* ἐπειδὴ Θεόδοτοϲ Εὐϲτρόφου
Πειραιεὺϲ χειροτονηθεὶϲ γυμναϲίαρχοϲ εἰϲ τὸν ἐνιαυτὸν
τὸν ἐπὶ Ἐργοκλέουϲ ἄρχοντοϲ τάϲ τε θυϲίαϲ ἐβουθ[ύ]τηϲεν
ἁπάϲαϲ τὰϲ καθηκούϲαϲ καὶ ὑπεδέξατο τοὺϲ ἀλειφο-
μένουϲ πάνταϲ· *v* ϲυνετέλεϲεν δὲ καὶ τὰ Ἑρμαῖα κα[ὶ] ὑ[πε]-
δέξατο πάνταϲ ἀναλώϲαϲ εἰϲ ταῦτα οὐκ ὀλίον· *v* προ[ϲε]-
δαπάνηϲε δὲ καὶ πρὸϲ τὸ μεριϲθὲν αὐτῶι εἰϲ τὸ ἔλαιον ἐκ
τῶν ἰδίων· *v* ἀνέθηκεν δὲ καὶ ὅπλα ὀκτὼ καὶ ἀνέγραψ[ε]ν τοὺ[ϲ]
νενικηκόταϲ τοὺϲ δρόμουϲ· *v* ὁμοίωϲ δὲ καὶ τοὺϲ τ[ὰ κ]ανᾶ [εἰ]-
ληφόταϲ· *v* ἐπανήγαγεν δὲ καὶ τὰϲ ἐπαναγωγὰϲ καθ' ἕκα[ϲ]-
τον μῆνα ποιούμενοϲ ἐν ταῖϲ καθηκούϲαιϲ ἡμέραιϲ·
ἦρξεν δὲ καὶ τὴν ἀρχὴν καὶ ἐν τοῖϲ λοιποῖϲ δικαίωϲ κα[ὶ]
κατ[ὰ τ]οὺϲ νόμουϲ φιλοτιμίαϲ καὶ ϲπουδῆϲ οὐθὲν ἐλλε[ί]-
πων· *vv* εἰϲ ταῦτα πάντα ἀνηλώϲαϲ πλεῖον ἀργύριον·
ᾠκοδόμηϲεν δὲ καὶ τὸν τοῖχον ἐκ τῶν ἰδίων τῆϲ ϲτο[ᾶϲ]
τὸν βλέποντα πρὸϲ νότον, *v* καὶ περὶ τούτων πάντω[ν]
ἀπολελόγιϲται τεῖ βουλεῖ καὶ τῶι δήμωι, *v* δέδωκε δ[ὲ καὶ]
τὰϲ εὐθύναϲ· ὅπωϲ ἐφάμιλλον ἦι πᾶϲι τοῖϲ βουλομέ[νοιϲ]
φιλοδοξεῖν εἰδόϲιν ὅτι καταξίωϲ τιμηθήϲονται τ[ῶν]
εὐεργεϲιῶν. *vv* ἀγαθεῖ τύχει δεδόχθαι τεῖ βουλεῖ
τοὺϲ λαχόνταϲ προέδρουϲ εἰϲ τὴν ἐπιοῦϲαν ἐκ-
κληϲίαν χρηματίϲαι περὶ τούτων, γνώμην δὲ ξυμ-
βάλλεϲθαι τῆϲ βουλῆϲ εἰϲ τὸν δῆμον ὅτι δοκεῖ τεῖ βου-
λεῖ· *vv* ἐπαινέϲαι τὸν γυμναϲιαρχήϲαντα τὸν ἐνιαυ-

τὸν τὸν ἐπὶ Ἐργοκλέους ἄρχοντος Θεόδοτον Εὐστρό-
φου Πειραιέα καὶ στεφανῶσαι αὐτὸν χρυσῶι στεφά-
νωι κατὰ τὸν νόμον φιλοτιμίας ἕνεκεν τῆς εἰς τὸν δῆ-
μον τὸν Σαλαμινίων καὶ ἀνειπεῖν τὸν στέφανον
τοῦτον Διονυσίων τῶν ἐν Σαλαμῖνι τραγωιδοῖς, ὅταν
πρῶτον γίνηται *v* καὶ Αἰαντείοις τῶι γυμνικῶι ἀγῶνι.
ἀναγράψαι τόδε τὸ ψήφισμα τὸν γραμματέα τοῦ δή-
μου εἰστήλας λιθίνας [δ]ύο *v* καὶ στῆσαι μίαν μὲν ἐν τῶι
γυμνασίωι *v* μίαν δὲ ἐν τῶι ἐπιφανεστάτωι τῆς ἀγο-
ρᾶς τόπωι· *vv* τῆς δὲ ἀναγορεύσεως τοῦ στεφάνου
καὶ τῆς ἀναθέσεως τῶν στηλῶν ἐπιμεληθῆναι τοὺς
ἐπιμελητάς, *v* μερίσαι δὲ τὸν ταμίαν Φιλοκλῆν Πειραι-
[έ]α ἐκ τῶν εἰς τὰ κατὰ ψηφίσματα ἀναλισκομένων
[τῶ]ι δήμωι.

vacat 0,02

Ὁ δῆμος ὁ Σαλαμινίων

in corona

Θεόδοτον
Εὐστρόφου
Πειραιέα γυμνασι-
αρχήσαντα ἐπὶ Ἐ[ρ]-
γοκλέους ἄρ-
χοντος.

In parte inferiore decreti a v. fere 16 in parte dextra ultima spatia versuum multifariam vacua relicta sunt. Suppl. † Koe. V. 1 praescripta sunt nomina archontum civitatis Atticae et Salaminiorum; cf. supra t. 1008, 75 et quae adnotavimus ad tit. qui proxime insequitur. De archonte Attico Epicle = 131/0 vide t. 977.

V. 16 ἀνηλώσας· cf. t. 1228, 4 ἀνηλώσωσιν. Meisterhans[3] 174, 1447.

V. 10 ἀνέγραψεν τοὺς νενικ. τοὺς δρόμους καὶ τοὺς τὰ κανᾶ εἰληφ.· Prorsus eadem exstant in dedicationibus gymnasiarchi Deliaci a. 155/4, *Bull. Hell.* XXXVI 1912, 411. 412 nr. 10—12.

1228 (II 595). DECRETVM CLERVCHORVM SALAMINIORVM. Titulus Piraei repertus esse fertur, ubi in domo Antonii Theocharis exstabat. Tabula marmoris Pentelici. Litt., quales exhibet Koe., Α Σ Π. Exscr. † Koehler[1], qui lapidem valde detritum et lectu difficilem esse monet.

non στοιχ. c. 54.

[- ἐ]γδόσει
- - - - - - - - - - - - - - - - - - - ις ποιεῖσθ[αι . . . .]ντιθεμε-
[ν - - - - - - - - - - -]ν [κ]ειμένους νόμους καταβαλέσθω-
[σαν λόγον ὧ]ν τε ἂν [λ]άβωσιν ἐμ προσόδωι καὶ ἀνηλώσωσιν ε[ἰ]ς [τὸν]
a. 116/5. [ἐνιαυτ]ὸ[ν] τὸ[ν] μετὰ Σαραπίωνα ἄρχοντα· *vv* ὑποθέτωσαν δὲ καὶ
[ἐάν τι προε]ισενέγκωσιν διαφόρου εἰς τὰ ἔργα· *v* εἶναι δὲ τοῖς ἀνδρά-
[σιν ἐπιμε]ληθεῖσιν καλῶς καὶ δικαίως τῆς κατασκευῆς τῶν προγε-
[γραμμέν]ων ἔργων ἐπαινεθῆναι καὶ στεφανωθῆναι ὑπὸ τοῦ δήμου
[τοῦ Σαλ]αμινίων ἕκαστον θαλλοῦ στεφάνωι εὐσεβείας ἕνεκεν καὶ κα-
λο[κ]αγαθίας τῆς πρὸς τοὺς θεούς. *v* ἀναγράψαι δὲ τόδε τὸ ψήφισμα τὸν
[γ]ραμματέα τοῦ δήμου εἰστήλην λιθίνην καὶ στῆσαι εἰς τὴν ἐξέδραν,
[τὸ] δὲ γενόμενον εἰς αὐτὴν ἀνήλωμα μερισαι τοὺς ἐπὶ τὴν ἐπισκευήν·
[ἀν]αγράψαι δὲ εἰς αὐτὴν καὶ τῶν ἐπιδεδωκότων τὰ ὀνόματα καὶ πόσον
ἐπέδωκεν, *v* ἵνα τούτων συντελουμένων καλῶς ἔχῃ καὶ εὐσεβῶς τῶι
δήμωι τῶι Σαλαμινίων τὰ πρὸς τοὺς θεούς. *v* τὸ δὲ ψήφισμα τόδε [ἐ]-
πειδή ἐστιν περὶ ἱερῶν ἐπισκευῆς καὶ τῆς ἐπικοσμήσεως τῶν κοι[νῶν],
[ἐ]πειδὴ καὶ ὁ στρατηγὸς κα[ὶ οἱ ἐ]πιμεληταὶ συναποφ[αί]νονται, ἅπαν ἔ[στω]
εἰς φυλακήν. *v* οἱ κατασκ[ευ]ῶντες τὰ ἱερὰ καὶ τὴν ἐξέδραν κατὰ τὸ ψ[ή]-

[φ]ισμα· οἵδε εἱρέθησαν· v Θεόδοτος Πειραιεύς· v Αἴσχρων Αἰξωνε[ύς], [Χ]αρικλῆς Λευκονοεύς.

[Ὁ] δῆμος ὁ Σαλαμινίων	Ὁ δῆμος ὁ Σαλαμινίων	Ὁ δῆμος ὁ Σαλαμινίων
in corona	*in corona*	*in corona*
Θεόδο- τον Πειραιέα	Αἴσχρω- να Αἰξωνέ- α	Χαρι- κλῆν Λευκονο- έα

Suppl. † Koe.

Sarapion archon Atticus est a. 116/5, supra t. 1009, 28. In titulo Salaminio per se quidem probabile est archontem Salaminium dici. Sed haud dubie intellegendus est archon Atticus, sicut in tituli praecedentis Salaminii v. 5. 27. 45 verbis τὸν ἐνιαυτὸν τὸν ἐπὶ Ἐργοκλέους ἄρχοντος ad archontem Atticum a. 132/1 respicitur.

V. 19 Θεόδοτος Πειραιεύς idem videlicet est atque Θ. Εὐστρόφου Π. in t. 1227.

CLASSIS QVARTA.

DECRETA GENTIVM PHRATRIARVM TETRAPOLITARVM MESOGIORVM.

SECTIO PRIMA.

DECRETA GENTIVM.

1229 (II 596). DECRETVM GENTIS CROCONIDARVM. In porticu Attali, nunc in museo nat. Tabula marmoris Pentelici supra et a sinistra integra a. 0,21, l. 0,22, cr. 0,08. Litt. alt. 0,008 Ε et Ε Ξ Ο Ω. Exscr. †Koehler[1]. Cf. Toepffer *Att. Geneal.* 107. *Ect.*

post med. s. IV. στοιχ. 25.

[Θ] ε [ο ί].
[Ἔ]δοξεν Κροκωνί[δαις ....8...]
.ς Ἀριστοδήμου [....9.... εἶπ]-
[ε]ν· ἐπειδὴ οἱ αἱρ[εθέντες ὑπὸ τῶ]-
ν γεννητῶν οἰκο[δομῆσαι τὸ ἱερ]-
[ὸ]ν τῆς Ἑστίας ἐπε[μελήθησαν τῆς οἰ]-
κοδομίας καλῶς κ[αὶ φιλοτίμως]
κα[ὶ] ἐπέδοσα[ν τὸ ἀνάλωμα παρ' ἑα]-
υτῶν τὸ εἰ[ς τὴν οἰκοδομίαν, ἐπα]-
[ι]νέσαι [αὐτοὺς καὶ στεφανῶσαι]
[χρ]υσῶ[ι στεφάνωι - - - -]

V. 6 tenet 28 litteras. Suppl. 5. 8—11 Wilhelm apud Toepffer. || reliqua †Koe.
Ad aetatem Alexandri Magni refert lapidem Koe. De Croconidis cf. Toepffer.

1230 (II 597). DECRETVM GENTIS CERYCVM IN HONOREM EVTHYDEMI. Eleusine in ruderibus Propylaeorum, nunc in museo Eleusinio (catal. nr. 58). Tabula marmoris Pentelici aetomate ornata a. 0,20, l. 0,38, cr. 0,075. Litt. alt. 0,005 volg. s. IV. Exscr. †Koehler[1]. (Dittenberger 648. Michel 962.) *Ect.*

fin. s. IV. στοιχ. 30.

[Θ] ε ο ί.
Ἐπιγένης Εὐεργέτου ἐκ Κοίλης εἶπεν·
[ἐ]πειδὴ Εὐθύδημος ὁ πάρεδρος τοῦ βασ-
[ι]λέως καλῶς καὶ φιλοτίμως μετὰ τοῦ β-
[ασ]ιλέως κα[ὶ] τοῦ γέν[ο]υς τοῦ Κηρύκων ἐ-
[πε]μελήθη τ[ῶ]ν περὶ τὰ μυστήρια καὶ φ[ι]-
[λ]οτιμού[μεν]ος διατελεῖ πρὸς τὸ γέν[ο]-
[ς] τὸ Κηρύ[κων] καὶ [ἔς]τιν εὔνους ἅπασ[ιν]
[ἀε]ὶ καὶ λαβ[ὼ]ν κ - - -

Suppl. †Koe. || 9 Dttb.
Titulus eiusdem fere aetatis est atque is qui praecessit [Koe.].

1231 (II 5, 597 b). DECRETVM GENTIS EVMOLPIDARVM. Eleusine, nunc in museo Eleusinio (catal. nr. 87). Fragmentum tabulae marmoris Pentelici a. 0,225, l. 0,35, cr. 0,11. Litt. alt. 0,007 volg. s. IV. Ed. Philios Ἐφ. 1890, 83. Ex ect. Koehler[1]. (Foucart *Rev. ét. gr.* 1893, 329. Dittenberger 651. Michel 963.) *Ect.*

fin. s. IV. στοιχ. 25.

Θ [ε ο ί].
Πρόφαν[τος εἶπεν· ἐπειδὴ Τληπό]-
λεμος Α[........17........ κα]-
λῶς καὶ φι[λοτίμως καὶ εὐσεβῶ]ς τ-
ῶν ἱερῶν ἐ[πιμελεῖται καὶ τ]ὸ τοῦ
Πλούτωνος ἱερ[ὸν καλῶς ἐκ]όσμη-
σεν, ἐπαινέσαι [αὐτὸν κ]αὶ στεφα-
νῶσαι μυρρίνης [στεφά]νωι εὐσ[ε]-

θείαϲ ἕνεκα καὶ φ[ιλ]οτιμίαϲ· νέ-
μειν δὲ αὐτῶι καὶ [με]ρίδα ἐγ [μ]υϲ-
τηρίων τῶν μεγάλ[ω]ν καὶ τῶν πρὸ-
ϲ Ἄγραν ὥϲπερ [Ε]ὐμολπιδῶν ἑκ-
άϲτωι, ἐπειδὴ ϲπουδαῖόϲ ἐϲτι π-
ερὶ τὰ ἱερὰ κα[ὶ τ]ὸ γένοϲ τὸ Εὐμο-
[λπιδ]ῶν. ἀνα[γράψαι] δὲ τὸ ψήφ[ιϲμ]-
[α ἐν ϲτ]ήλ[ηι λιθίνηι - - - - -]

V. 4 et 5, ubi ordo turbatus est = 26 litt. Suppl. Phil. || 2 fin. Hiller. || 4 fin. et 5 Koe. 9 νέμειν κτλ.: cf. Prott-Ziehen Leg. sacr. II 1 p. 35.

1232 (II 5, 597d). DECRETVM GENTIS SALAMINIORVM. Inter theatra Bacchi et Herodis, nunc in museo nat. Basis marmoris Pentelici a. 0,63, l. 0,26, cr. 0,16. V. 1—8 propter formam lapidis eis qui sequuntur paullo longiores fuerunt. Superficies lapidis valde detrita est; initio quattuor ut videtur versus prorsus evanuerunt. Litt. alt. 0,006 volg. s. IV. Ed. litt. minusc. Kumanudes Ἀθήν. VI 1877, 274. Apographo Lollingii usus Toepffer *Att. Geneal.* 287. Koehler[1] exhibet exemplum Lollingii. *Ect.*

fin. s. IV. — non ϲτοιχ. 30–33. inde a vs. 10.

- - - - - - ΙΓΙΓΙΙ/ - - - - - - - - - -
- - - - - \ΑΙΙ/ /// ΑΝ /// ΣΕΙ - - - - - - - -
[- - - - - γ]ένουϲ καὶ τάϲ τε θυ[ϲίαϲ - - - - -]
[- - - - δή]μου τοῦ Ἀθηναίων καὶ - - - - - -
- - - - - - - -ν Εὐφρόϲυνον Ὀν- - - - - - - -
- - - - - - - - - καὶ τὸν νεω[κόρον? - - - -]
- - - - - - - - - ΙΡΛΚΟΣΤΛΛ - - - - -
- - - - - - - - - - ΛΟΥ /// ΟΦΩ - - - - -
[.. διατετελ]έκαϲι φιλοτιμούμενοι ε[ἰϲ]
[τοὺϲ θεο]ὺϲ καὶ εἰϲ τὸ γένοϲ τὸ Σαλαμινί-
[ων, ἐπαινέϲ]αι αὐτοὺϲ καὶ ϲτεφανῶϲαι αὐτ-
[ῶν ἑκάτερο]ν χρυϲῶι ϲτεφάνωι ἀπὸ Χ δραχμ-
[ῶν δικαιοϲ]ύνηϲ ἕνεκα καὶ φιλοτιμίαϲ τῆ-
[ϲ εἰϲ τὸ γένο]ϲ· εἶναι δὲ αὐτοῖϲ [καὶ - -]
....c. 10.... ἀναθεῖναι ἐν τῶι ἱερῶι τῆϲ Ἀθ-
[ηνᾶϲ τῆϲ Σκι]ράδοϲ· νέμειν δὲ αὐτῶν ἑκ-
[ατέρωι.... τ]ὸν ἀεὶ λαν[χ]άνοντα ἄρχο-
[ντα ...c. 8...]ουϲ καὶ τοὺϲ ἱερομνήμ[ον]-
[αϲ ...c. 8...]ΙΛΝ /// ουϲ· [κ]ατανέμειν δ[ὲ κα]-
[ὶ ....c. 11....]. ἀναγράψαι δὲ τόδε τ[ὸ ψή]-
[φιϲμα εἰϲ ϲτήλα]ϲ λι[θ]ίναϲ δύο καὶ [ϲ]τῆϲαι
[τὴν μὲν ἐν τῶι] Εὐρυϲακείωι, τὴν δὲ ἐν τῶι
[περιβόλωι? τοῦ] νεὼ τῆϲ Ἀθηνᾶϲ τ[ῆ]ϲ Σκιράδ-
[οϲ· εἰϲ δὲ τὴν ἀ]ναγραφὴν τῶν ϲ[τ]η[λ]ῶν δ[ο]ῦ-
[ναι ..c. 5.. δρα]χμάϲ, ὅπωϲ ἂν εἰδῶϲι Σαλα-
[μίνιοι καὶ ο]ἱ ἄλλοι οἱ ἀφικνούμενοι ε[ἰϲ]
- - - - ΣΑΙ/ - - - - - - -
- - - -ι φιλοτι- - - - - - -
- - - - -τολι- - - - - - -
- - - ///ΙΜΛΚΛ - - - - - -
- - - ΟΥΟΙΛΙΟΛ - - - - -
- - - ΑΠΟ Ι ΙΙ LC - - -
- - - ΟΝΩ - - - ΕΩ - - -
- - - Ι Ε - - - - - - - -

vacat 0,19

Suppl. Kum. || 10 in. 14 in. 22 in. Koe. || 24 fin. 25 in. Wilhelm apud Toep. V. 7 [Ἱ]έρακοϲ Kum. || 8 ...του Ἰοφω[ντ- idem.

Ad fin. s. IV titulum revocat Toep., recentiorem habuit Kum. De gente Salaminiorum cf. Koehler *Ath. Mitt.* IV 1879, 264 sqq. Toep. l. c.

1233 (II 5, 603c). DECRETVM GENTIS MEDONTIDARVM. In duobus lateribus lapidis muro ecclesiae prope Kypselen vicum (in vicinia septentrionali Athenarum) inaedificati. Exscr. Ross, cuius apographum exhibet C. Keil *Philol.* XXIII 1866, 249, repetivit Koehler[1]. Habui etiam apographum Velseni. (Toepffer *Att. Geneal.* 229.)

s. IV. *Latus A* — non ϲτοιχ.

[- - - - - - - - - τοῦ γένουϲ]
τοῦ Μ[εδοντιδῶν - - - - - - ἐπαι]-
νέϲαι Ἀρε[- - - - - - - - - κ]-
αὶ ϲτεφα[νῶϲαι αὐτὸν - - ϲτεφάνωι]
δ[ικ]α[ιοϲύνηϲ ἕνεκεν καὶ εὐϲεβείαϲ τ]-
ῆϲ περ[ὶ τὸ γένοϲ].

in corona
Μεδοντίδαι

Latus B

in corona
[Οἱ ἱπ]πέεϲ

in corona
Ἡ βουλή

Suppl. Koe. || *A* 4 Ki. Velsen in latere *A* infra Μεδοντίδαι habet Ο Δ Η Μ Ο.
Ad s. IV titulum revocat Koe. De Medontidarum gente cf. Toepffer l. c. Wilamowitz *Aristot. u. Ath.* II 131, 12. Wilhelm *Beitr.* 50.

1234 (II 634). DECRETVM GENTIS? Olim in Theseo, quod dicitur, nunc in museo nat. Frustum marmoris Hymettii a. 0,135, l. 0,17, cr. 0,032. Litt. alt. 0,004 volg. s. IV. Exscr. †Koehler[1]. *Ect.*

fin. s. IV. — ϲτοιχ.

- - - τεῖϲ - - - - - - - - - - - - - - - -
vacat 0,015
[τοὺϲ αἱρε]θένταϲ ὑπὸ - - - - - - - - - - - -
....8....ειν κατὰ τὰ π[άτρια - - - - - - - - - -]
[. τὴν τελε]τὴν ποεῖν ἐν τ - - - - - - - - - - -
....7...αϲ τὸ διαγεγραμ[μένον - - - - - - - - -]
[. ἐπαυξά]νονταϲ τὰϲ προϲ[όδουϲ - - - - - - - -]
....8....ι ἐνιαυτῶι ὧι ἂν - - - - - - - - - - -
[....8... ἕ]καϲτοϲ ạὐτῶν 𐅃 [δραχμὰϲ - - - - -]
[...5.. ἐὰν δ]ὲ τὴν τελετὴν μ[ὴ ποήϲωϲι - - - - -]
....10.... τειϲάτω̣ ἕκαϲ[τοϲ αὐτῶν - δραχμὰϲ - -]
.....12.....θωαυ - - - - - - - - - - - -

Suppl. Koe. || 6 Ki.

1235 (II 5, 597c). DECRETVM CERYCVM ET EVMOLPIDARVM. Eleusine, nunc in museo Eleusinio (catal. nr. 13). Tabula marmoris Hymettii aetomate superata a. 0,75, l. 0,47, cr. 0,10. Litt. alt. 0,005 Α Λ Δ Ρ Γ Φ Ed. Philios Ἐφ. 1883, 81. Ex ect. Koehler[1]. *Ect.*

c. a. 274/3. non ϲτοιχ. 32—40.

Θραϲυφῶν Ἱεροκλείδου Ξυπεταιὼν εἶπεν·
ἐπειδὴ ὁ ἱεροφάντηϲ Χαιρήτιοϲ εὔνουϲ ὢν δι-
ατελεῖ τῶι γένει τῶι τε Κηρύκων καὶ Εὐμολ-
πιδῶν καὶ λέγει καὶ πράττει ὅ τι ἂν δύνηται
ἀγαθὸν ὑπὲρ αὐτῶν καὶ τοῖϲ ἀποδημοῦϲιν ἐ-
πὶ τὰϲ ϲπονδοφορίαϲ διατελεῖ μετ' εὐνοίαϲ
ἀπογράφων τὴν ἐπαγγελίαν, ἀναϲτρέφεται
δὲ καὶ ἐν τεῖ ἀρχεῖ τῆϲ ἱερεωϲύνηϲ εὐϲχημό-
νωϲ ἀνέγκλητον ἑαυτὸν παραϲκευάζων· ὅπω[ϲ]
ἂν οὖν καὶ τὰ γένη φαίνηται τιμῶντεϲ τοὺϲ
ὄνταϲ εὔνουϲ τε καὶ ἀξίουϲ ἑαυτῶν, ἀγαθεῖ
τύχει, δεδόχθαι Κήρυξι καὶ Εὐμολπίδαιϲ, ἐπαινέ-
ϲαι τὸν ἱεροφάντην Χαιρήτιον Προφήτου Ἐλευ-
ϲίνιον καὶ ϲτεφανῶϲαι μυρρίνηϲ ϲτεφάνωι ὧι
πάτριόν ἐϲτιν αὐτῶι εὐνοίαϲ ἕνεκεν ἣν ἔχων
διατελεῖ εἰϲ τὰ γένη· καὶ ἀναγορεύειν τοῦτον
τὸν ϲτέφανον Διονυϲίων τῶι πατρίωι ἀγῶνι
Ἐλευϲῖνι ἐν τῶι θεάτρωι, τῆϲ δὲ ἀναγορεύϲεωϲ
τοῦ ϲτεφάνου ἐπιμελεῖϲθαι τοὺϲ ἄρχονταϲ
τοὺϲ ἀεὶ καθιϲταμένουϲ ἐξ ἑκατέρου τοῦ γένουϲ.
ἀναγράψαι δὲ τόδε τὸ ψήφιϲμα ἐν ϲτήλει λιθίνει
καὶ ϲτῆϲαι Ἐλευϲῖνι ἐν τεῖ αὐλεῖ τοῦ ἱεροῦ, τῆϲ
δὲ ποήϲεωϲ τῆϲ ϲτήληϲ καὶ τῆϲ ἀναθέϲεωϲ ἐπι-
μεληθῆναι τοὺϲ ἄρχονταϲ τῶν γενῶν.

in corona
Κήρυκεϲ
καὶ Εὐμολπίδαι
τὸν ἱεροφάντην
Χαιρήτιον
Ἐλευϲίνιον.

V. 1 Θραϲυφῶν Ἰ. Ξυπ. Idem homo rogationem fert anno Hieronis archontis (274/3), t. 683. Itaque ad idem fere tempus decretum supra positum referendum est; Dttb. 2 Χαιρήτιοϲ. Cum et hic et v. 13 nomen proprium hierophantae exstet, hieronymiam quam vocant temporibus Romanis demum in usum venisse iudicant Dittenberger *Herm.* XXII 1885, 13 not. 1. Toepffer *Att. Geneal.* 52. 6 τὰϲ ϲπονδοφορίαϲ· cf. t. 785, 20. 1236, 14. Toepffer *Att. Geneal.* 80. A. Mommsen *Feste* 208, 5.

1236 (II 605. cf. II 5, 605). DECRETVM GENTIVM CERYCVM ET EVMOLPIDARVM. Ad ecclesiam Hypapantes (in antiquo foro), nunc in museo nat. Tabula marmoris Pentelici a. 0,33, l. 0,32, cr. 0,102. Litt. alt. 0,006 Α Σ Π Ο Ω. Exscr. †Koehler[1]. (Michel 965.) Cf. Toepffer *Att. Geneal.* 22. Koehler *SB. Berl. Akad.* 1900, 999. Croenert *SB. Berl. Akad.* 1900, 942 sqq. 956. Idem *Jahresh.* X 1907, 146 not. 10. Wilhelm *Gött. gel. A.* 1900, 103. Idem *Beitr.* 313. Foucart *Bull. Hell.* VI 1882, 435. *Ect.*

ante med. s. II. — non ϲτοιχ. 60 67.

[- - - καὶ τοῖϲ παραγενομένοιϲ π]αρὰ τοῦ δήμου πρὸϲ τοὺϲ βαϲιλε[ῖϲ πρεϲ]-
[βευταῖϲ ϲυνήργει μετὰ ϲπουδῆϲ] καὶ διὰ ταῦτα καὶ τὰϲ ἄλλαϲ εὐεργεϲίαϲ ἃϲ πο[ιῶν]
[διατετέλεκε τὸν δῆμον ἐτίμη]ϲεν ὁ δῆμοϲ πολιτείαι αὐτόν τε καὶ τοὺϲ ὑοὺϲ αὐ[τοῦ]
[Φιλωνίδην καὶ Δικαίαρχ]ον καὶ ἐϲτεφάνωϲεν θαλλοῦ ϲτεφάνωι καὶ πάλιν χρυϲῶι
[ϲτεφάνωι καὶ ἔϲτηϲ]εν ἐν τῶι τεμένει τοῦ Δήμου καὶ τῶν Χαρίτων βουληθέντο[ϲ]
[καὶ αὐτοῦ, ἔτι δὲ καὶ ἔ]ϲωιϲεν ἐκ τῆϲ αἰχμαλωϲίαϲ τὴν πᾶϲαν ϲπουδὴν ποιηϲάμεν-
[οϲ αὐτοῦ, καὶ ἐλθόντοϲ] αὐτοῦ εἰϲ τὴν πόλιν μετὰ τοῦ πρεϲβυτέρου τῶν ὑῶν Φιλω-
[νίδου προϲήγαγον αὐτο]ὺϲ οἱ πρυτάνειϲ πρὸϲ τὸν δῆμον ἐν ἱεροῖϲ καὶ διαλεγέντ[ο]-
[ϲ αὐτοῦ περὶ τῆϲ εὐνοία]ϲ ἧϲ ἔχουϲι πρὸϲ πάνταϲ Ἀθηναίουϲ φιλανθρώπωϲ πρ[ο]-
[ϲεδέξατο ὁ δῆμοϲ ἀξιῶν] καλέϲαι αὐτοὺϲ εἰϲ τὸ πρυτανεῖον ἐπὶ τὴν κοινὴν ἑϲτία-
[ν τοῦ δήμου· ἵνα οὖν καὶ Ε]ὐμολπίδαι καὶ Κήρυκεϲ αὐτὸν καὶ τοὺϲ ἐκγόνουϲ αὐτοῦ
[. . . . c. 8 . . . εὐϲεβοῦνταϲ] τὰ περὶ τὼ[ι] θεὼ[ι] φαίνωνται τιμῶντ[εϲ καὶ] φιλοτιμού-
[μενοι περὶ τοὺϲ ἄνδραϲ] εἰϲ τοὺϲ ἐκπεμπομένουϲ ἐξ ἑαυτῶ[ν ἀγαθοὺϲ] vvvv ἀγα[θ]-
[εῖ τύχει δεδόχθαι τοῖϲ γένε]ϲιν ἐξ ὧν οἱ ϲπονδοφόροι ἐκπέμποντ[αι, ἐπαι]νέϲα[ι Φι]λ[ω]-
[νίδην Λαοδικέα καὶ τοὺϲ ὑοὺ]ϲ αὐτοῦ Φιλωνίδην καὶ Δικαίαρχον καὶ ϲτεφανῶϲα[ι ἕκ]-
[αϲτον αὐτῶν μυρρίνηϲ ϲτεφά]νωι ὧι πάτριόν ἐϲτιν ϲτεφανῶϲαι τοὺϲ ἑαυτῶν ε[ὐερ]-
[γέταϲ· εἶναι δὲ αὐτῶι καὶ τ]οῖϲ ἐκγόνοιϲ αὐτοῦ διατηροῦϲιν τὴν αὐτὴν [εὔνοι]-
[αν πρὸϲ τὸν δῆμον εὑρέϲθ]αι καὶ ἄλλο ἀγαθὸν ὅτου ἂν δοκῶϲιν ἄξιο[ι εἶναι].
[ἀναγράψαι δὲ τόδε τὸ ψήφιϲμα τὸν ἄρ]χοντα τῶν γενῶν ἐν ϲτήλει λιθίνει - - -
[- - - - - - - - - - - - τὸ δὲ] ἀν[άλ]ωμ[α λ]ογίϲαϲθαι [τοῖ]ϲ γένε[ϲι - - -]

Suppl. Koe. || 1 et 2 Croen. *Jahresh.* l. c. || 16 in. μυρρίνηϲ Fouc. || 3 in. διατετέλεκε (διατελεῖ Koe.). 6 in. ἔτι δέ. 10 in. ἀξιῶν. 12 in. 13 in. ἄνδραϲ. 15/16 ἕκαϲτον αὐτῶν propter spatia posuit Ki. || 8 fin. διαλεγέντοϲ (διαλέγοντοϲ Koe.). 20 med. λογίϲαϲθαι (ἀποτίϲαϲθαι Koe.) in lapide esse affirmat Wilh. cf. tit. Samium apud Michel 831, 12. || 19 [τοὺϲ ἄ]ρχονταϲ τῶν γενῶν scribendum esse, scilicet litteram ϲ post ἄρχοντα quadratarii incuria omissam esse probabiliter conicit Toepffer 22 coll. t. 1235, 24.

V. 4 Philonidem et Dicaearchum Philonidae filios (ἐν Λαοδικείαι τᾶι πρ[ὸϲ θαλάϲϲαι Φιλωνί]δαϲ Φιλωνίδα καὶ ὁ ἀ[δελφὸϲ] Δικαίαρχοϲ Φιλωνί[δα]) in thearodocorum Delphorum catalogo *SGDI* 2580, 105 (a. 196—168) recenseri demonstravit Koehler *Ath. Mitt.* VIII 1883, 382 sqq. Decretum a Delphis in honorem Dicaearchi a. 168/7 factum (Δικ. Φιλωνίδα Λαοδικεὺϲ τῶν ποτὶ θαλάϲϲαι) propter merita eius in urbem et cives apud regem Antiochum Epiphanem (a. 176—165) exstat *SGDI* 2677 = Dittenberger Or. 241. Latyschew *Ath. Mitt.* X 1885, 76. cf. Koehler *SB. Berl. Akad.* l. c. De tempore catalogi thearodocorum et decreti Delphici cf. Pomtow *Berl. phil. Wochenschr.* 1910, 1081. Philonidem Philonidae filium apud Antiochum Epiphanem et Demetrium Sotera (a. 163—151) valuisse e Vita Philonidis in papyro tradita colligitur; Croenert *SB. Berl. Akad.* l. c. Itaque v. 1 tituli supra positi βαϲιλεῖϲ, quorum in gratia erat Philonides Philonidae pater, intellegendi sunt reges Syriae. 5 Δήμου καὶ Χαρίτων· cf. t. 844, 39. 14 ϲπονδοφόροι· cf. t. 1235.

SECTIO SECVNDA.

DECRETA PHRATRIARVM.

1237 (A = II Add. 841 b + B = II 5, 841 b). DECRETA TRIA PHRATRIAE DEMOTIONIDARVM (V. 9—68. 68—113. 114—126). ANTECEDIT LEX DE EMOLVMENTIS SACERDOTIS (1—8). Ad villam regiam Tatoi, ubi fuit Decelea, nunc ibidem »*in der Wohnung des Direktors*« Milchhoefer *Ath. Mitt.* XII 1887, 320 nr. 428. Tabula marmoris Pentelici fracta infra, inscripta ab utraque parte. Partem anticam (A = v. 1—58) edd. ex ect. Koehler[1] et Kumanudes Ἐφ. 1883, 69; utramque partem Pantazides Ἐφ. 1888, 1 sqq.; partem posticam (B = v. 59—126) litt. minusc. Lolling Δελτ. ἀρχ. 1888, 161 et †Koehler[1] usus apographo Lollingii. (Sauppe Comm. de phrat. att. altera, Gottingae 1890. Dittenberger 439. Michel 961. Dareste *Inscr. jurid. II Série* p. 199. Prott-Ziehen II 1, 17, qui tractat v. 1—8.) Cf. Buermann *Berl. phil. Wochenschr.* 1889 p. 225 sq. et 258 sq. R. Schoell *SB. Akad. Münch.* 1889 II p. 1 sq. Wilamowitz *Aristot. u. Ath.* II 260 sq. Haussoullier *Rev. crit.* 1900 vol. II 24.

ramus oleagineus

A I Διὸς Φρατρίο

στοιχ. 25. ἱερεὺς Θεόδωρος Εὐφαντίδο *v v* ἀν-
έγραψε καὶ ἔστησε τὴν στήλην. *v*
ἱερεώσυνα τῶι ἱερεῖ διδόναι τ-
άδε· ἀπὸ το͂ μείο κωλῆν, πλευρόν, ο͂-
ς, ἀργυρίο ||| *v* ἀπὸ το͂ κορείο κωλῆ-
ν, πλευρόν, ο͂ς, ἐλατῆρα χοινικια-
ῖον, οἴνο ἡμίχον, ἀργυρίο ⊢· *vacat*

II τάδε ἔδοξεν τοῖς φράτερσι ἐπὶ
Ol. 96, 1. 396/5. Φορμίωνος ἄρχοντος Ἀθηναίοι-
ς, φρατριαρχο͂ντος δὲ Παντακλέ-
ος ἐξ Οἴο. *vacat*

στοιχ. 30. Ἱεροκλῆς εἶπε· ὁπόσοι μήπω διεδικάσ-
θησαν κατὰ τὸν νόμον τὸν Δημοτιωνιδ-
ῶν, διαδικάσαι περὶ αὐτῶν τὸς φράτερ-
ας αὐτίκα μάλα ὑποσχομένος πρὸς το͂ Δ-
ιὸς το͂ Φρατρίο φέροντας τὴν ψῆφον ἀπ-
ὸ το͂ βωμο͂· ὃς δ' ἂν δόξηι μὴ ὢν φρατὴρ ἐσα-
χθῆναι, ἐξαλειψάτω τὸ ὄνομα αὐτο͂ ὁ ἱερ-
εὺς καὶ ὁ φρατρίαρχος ἐκ το͂ γραμματεί-
ο το͂ ἐν Δημοτιωνιδῶν καὶ το͂ ἀντιγράφ-
ο, ὁ δὲ ἐσαγαγὼν τὸν ἀποδικασθέντα ὀφε-
ιλέτω ἑκατὸν δραχμὰς ἱερὰς τῶι Διὶ τ-
ῶι Φρατρίωι, ἐσπράττεν δὲ τὸ ἀργύριο-
ν τοῦτο τὸν ἱερέα καὶ τὸν φρατρίαρχο-
ν ἢ αὐτὸς ὀφείλεν. τὴν δὲ διαδικασίαν
τὸ λοιπὸν ε͂ναι τῶι ὑστέρωι ἔτει ἢ ὧι ἂ-
ν τὸ κόρεον θύσηι, τῆι Κορεώτιδι Ἀπατ-
ορίων. φέρεν δὲ τὴν ψῆφον ἀπὸ το͂ βωμο͂. ἐ-
ὰν δέ τις βόληται ἐφεῖναι ἐς Δημοτιων-
ίδας ὧν ἂν ἀποψηφίσωνται, ἐξεῖναι αὐ-
τῶι· ἑλέσθαι δὲ ἐπ' αὐτοῖς συνηγόρος τ-
ὸν Δεκελειῶν οἴκον πέντε ἄνδρας ὑπὲ-
ρ τριάκοντα ἔτη γεγονότας, τούτος δὲ
ἐξορκωσάτω ὁ φρατρίαρχος καὶ ὁ ἱερε-
ὺς συνηγορήσεν τὰ δικαιότατα καὶ ὀκ
ἐάσεν ὀδένα μὴ ὄντα φράτερα φρατρίζ-
εν. ὅτο δ' ἂν τῶν ἐφέντων ἀποψηφίσωντα-
ι Δημοτιωνίδαι, ὀφειλέτω χιλίας δρα-
χμὰς ἱερὰς τῶι Διὶ τῶι Φρατρίωι, ἐσπρ-
αττέτω δὲ τὸ ἀργύριον τοῦτο ὁ ἱερεὺς
το͂ Δεκελειῶν οἴκο, ἢ αὐτὸς ὀφειλέτω· ἐ-
ξεῖναι δὲ καὶ ἄλλωι τῶι βολομένωι τῶ-
ν φρατέρων ἐσπράττεν τῶι κοινῶι. ταῦ-
[τ]α δ' ε͂ναι ἀπὸ Φορμίωνος ἄρχοντος. ἐπι-
ψηφίζεν δὲ τὸν φρατρίαρχον περὶ ὧν ἂ-
ν διαδικάζεν δέηι κατὰ τὸν ἐνιαυτὸν
ἕκαστον· ἐὰν δὲ μὴ ἐπιψηφίσηι, ὀφελέτ-
ω πεντακοσίας δραχμὰς ἱερὰς τῶι Διὶ
[τ]ῶι Φρατρίω[ι· ἐ]σπράττεν δὲ τὸν ἱερέα
[κ]αὶ ἄλλο[ν τὸν βο]λόμενον τὸ ἀργύριον
[το]ῦτο [τῶι κοινῶι]. τὸ δὲ λοιπὸν ἄγεν τὰ
[μεῖα καὶ τὰ κόρει]α ἐς Δεκέλειαν ἐπὶ τ-
[ὸν βωμόν, ἐὰν δὲ μὴ θ]ύσηι ἐπὶ το͂ βωμο͂, ὀφ-
[ειλέτω πεντήκοντ]α δραχμὰς ἱερὰς τῶ-
[ι Διὶ τῶι Φρατρίωι, ἐσ]πραττέτω δὲ ὁ ἱερ-
[εὺς τὸ ἀργύριον τοῦτο ἢ] αὐτὸς ὀφειλέ-
[τω, εἰ μὴ λοιμός τις ἔσται ἢ πόλεμος *v v*]·

B ἐὰν δέ τι τούτων διακωλύηι, ὅποι ἂν ὁ ἱ-
ερεὺς προγράφηι, ἐνθαῦθα ἄγεν τὰ μεῖ-
α καὶ τὰ κόρεια. προγράφεν δὲ πρόπεμπ-
τα τῆς Δορπίας ἐν πινακίωι λελευκωμ-
ένωι μὴ 'λαττον ἢ σπιθαμιαίωι ὅπο ἂν Δ-
εκελειῆς προσφοιτῶσιν ἐν ἄστει. τὸ δ-
ὲ ψήφισμα τόδε καὶ τὰ ἱερεώσυνα ἀναγ-
ράψαι τὸν ἱερέα ἐν στήληι λιθίνηι πρ-
όσθεν το͂ βωμο͂ Δεκελειᾶσιν τέλεσι το-

III ῖς ἑαυτο͂. Νικόδημος εἶπε· τὰ μὲν ἄλλα κατ-
ὰ τὰ πρότερα ψηφίσματα ἃ κε͂ται περὶ τ-
ε͂ς εἰσαγωγῆς τῶν παίδων καὶ τῆς διαδ-
ικασίας, τὸς δὲ μάρτυρας τρε͂ς ὃς εἰρη-
ται ἐπὶ τῆι ἀνακρίσει παρέχεσθαι ἐκ τ-
ῶν ἑαυτο͂ θιασωτῶν μαρτυρο͂ντας τὰ ὑπερωτώμε(να)
καὶ ἐπομνύντας τὸν Δία τὸν Φράτριον·

μαρτυρῆν δὲ τὸϲ μάρτυραϲ καὶ ἐπομνύναι ἐχομένοϲ τô βωμô· ἐὰν δὲ μὴ ὦϲι ἐν τῶ(ι) θιάϲωι τότωι τοϲôτοι τὸν ἀριθμόν, ἐκ τῶν ἄλλων φρατέρων παρεχέϲθω. ὅταν δὲ ἦι ἡ διαδικαϲία, ὁ φρατρίαρχοϲ μὴ πρότερον διδότω τὴν ψῆφον περὶ τῶν παίδων τοῖϲ ἅπαϲι φράτερϲι, πρὶν ἂν οἱ αὐτô τô εἰϲαγομένο θιαϲῶται κρύβδην ἀπὸ τô βωμô φέροντεϲ τὴν ψῆφον διαψηφίϲωνται. καὶ τὰϲ ψήφοϲ τὰϲ τότων ἐναντίον τῶν ἁπάντων φρατέρων τῶν παρόντων ἐν τῆι ἀγορᾶι ὁ φρατρίαρχοϲ διαριθμηϲάτω καὶ ἀναγορευέτω ὁπότερ' ἂν ψηφίϲωνται. ἐὰν δὲ ψηφιϲαμένων τῶν θιαϲωτῶν ἐ͂ναι αὐτοῖϲ φράτερα οἱ ἄλλοι φράτερεϲ ἀποψηφίϲωνται, ὀφειλόντων ἑκατὸν δραχμὰϲ ἱερὰϲ τῶι Διὶ τῶι Φρατρίωι οἱ θιαϲῶται, πλὴν ὅϲοι ἂν τῶν θιαϲωτῶν κατήγοροι ἢ ἐναντιόμενοι φαίνωνται ἐν τῆι διαδικαϲίαι. ἐὰν δὲ ἀποψηφίϲωνται οἱ θιαϲῶται, ὁ δὲ εἰϲάγων ἐφῆι εἰϲ τὸϲ ἅπανταϲ, τοῖϲ δὲ ἅπαϲι δόξει ἐ͂ναι φράτηρ, ἐνγραφέϲθω εἰϲ τὰ κοινὰ γραμματεῖα. ἐὰν δὲ ἀποψηφίϲωνται οἱ ἅπαντεϲ, ὀφειλέτω ἑκατὸν δραχμὰϲ ἱερὰϲ τῶι Διὶ τῶι Φρατρίωι. ἐὰν δὲ ἀποψηφιϲαμένων τῶν θιαϲωτῶν μὴ ἐφῆι εἰϲ τὸϲ ἅπανταϲ, κυρία ἔϲτω ἡ ἀποψήφιϲιϲ ἡ τῶν θιαϲωτῶν. οἱ δὲ θιαϲῶται μετὰ τῶν ἄλλων φρατέρων μὴ φερόντων τὴν ψῆφον περὶ τῶν παίδων τῶν ἐκ τô θιάϲο τô ἑαυτῶν. τὸ δὲ ψήφιϲμα τόδε προϲαναγραψάτω ὁ ἱερεὺϲ εἰϲ τὴν ϲτήλην τὴν λιθίνην. ὅρκοϲ μαρτύρων ἐπὶ τῆι εἰϲαγωγεῖ τῶν παίδων· μαρτυρῶ ὃν εἰϲάγει ἑαυτῶι ὑὸν ἐ͂ναι τôτον γνήϲιον ἐγ γαμετῆϲ· ἀληθῆ ταῦτα νὴ τὸν Δία τὸν Φράτριον· εὐορκô(ν)τι μέν μοι πολλὰ καὶ ἀγαθὰ ἐ͂ναι, εἰ δ' ἐπιορκοίην, τἀναντία. *vacat*

IV Μενέξενοϲ εἶπεν· δεδόχθαι τοῖϲ φράτερϲι περὶ τῆϲ εἰϲαγωγῆϲ τῶμ παίδων τὰ μὲν ἄλλα κατὰ τὰ πρότερα ψηφίϲματα, ὅπωϲ δ' ἂν εἰδῶϲι οἱ φράτερεϲ τοὺϲ μέλλονταϲ εἰϲάγεϲθαι, ἀπογράφεϲθαι τῶι πρώτωι ἔτει ἢ ὧι ἂν τὸ κούρεον ἄγει τὸ ὄνομα πατρόθεγ καὶ τοῦ δήμου καὶ τῆϲ μητρὸϲ πατρόθεν καὶ τοῦ δήμου πρὸϲ τὸν φρατρίαρχον, τὸν δὲ φρατρία[ρχον ἀπογραψ]αμένων ἀναγράψαντα ἐκ[τιθέναι ὅπου ἂν Δεκ]ελέεϲ προϲφοιτῶϲι, ἐκτιθ[έναι δὲ καὶ τὸν ἱερέα] ἀναγράψαντα ἐν ϲανιδί[ωι λευκῶι ἐν τῶι ἱερ]ῶι τῆϲ Λητοῦϲ· τὸ δὲ ψ[ήφιϲμα τόδε ἀναγράψαι] [εἰϲ τὴν] ϲτήλην - - - - - - - - - - -

non ϲτοιχ. 32–38. med. s. IV.

B v. 59—113 eadem manu exaratos esse atque v. 1—58 partis *A*, v. 114 sqq. recentiore aetate (med. s. IV) testantur Pantaz. et Loll. V. 73 in rasura esse refert Pantaz.; Loll. idem de v. 69—73 affirmat. V. 1—11 = 25 litt. praeter 2, ubi Θεόδωροϲ 6 spatia occupat; v. 12—113 = 30 litt. praeter 19. 20. 22. 30. 56. 72. 80. 100. 104. 106 = 31, 68 = 32, 73 = 37. cf. Wilhelm *Rh. Mus.* LVI 1901, 582. V. 73 fin. ΥΓΕΡΩΤΩΜΕ || 112 in. ΕΥΟΡΚΟΤΙ.

